# Βυζάντιον. Αλιεία.

« είδη γαρ πλείω τούτων δήμου τε των λεγομένων — Αριστ. Πολιτικα:
γνωρίμων εστίν, οίον δήμου μεν είδη εν μεν οι γε- — Ζ(Δ).4.1291
ωργοί έτερον δε το περί τας τέχνας . . . . . — εκδ. Teubner
[illegible] το μεν πολεμικόν το δε χρηματιστικόν το — σ. 193.
δε πορθμευτικόν το δ' αλιευτικόν (πολλαχού γαρ
έκαστα τούτων πολύοχλα, οίον αλιείς μεν εν Τά-
ραντι και Βυζαντίω, τριηρικόν δ' Αθήνησιν, εμ-
πορικόν δε εν Αιγίνη και Χίω, πορθμευτικόν εν Τε-
νέδω)

« στασιωτικόν δε και το μη ομόφυλον έως αν — Αυτόθι.
συμπνεύση . . . . . . διο όσοι ήδη συν- — Θ(Ε) 3. 1303 -
οίκους εδέξαντο η εποίκους, οι πλείστοι διεστασίασαν — σ. 251
. . . . . . γεν Θουρίοις Συβαρίται τοις
συνοικήσασιν (πλεονεκτείν γαρ αξιούντες ως
σφετέρας της χώρας εξέπεσον) και Βυζάντι-
οι οι εποίκους επιβουλεύοντες φωραθέντες εξέπε-
σον δια μάχης. και Αντισσαίοι τους Χίων φυγάδας
δεξάμενοι δια μάχης εξέβαλον. »

# Βυζάντιοι. Ἁλιεῖς.

Ἀριστ. Πολι-τικῶν Δ. δ'. Τ. Α σ. 548 « εἴδη γὰρ πλείω τοῦ δήμου καὶ τῶν λεγομένων γνωρίμων ἐστίν, οἷον δήμου μὲν ἕν, ἓν μὲν οἱ γεωργοί, ἕτερον δὲ τὸ περὶ τὰς τέχνας. . . . . . . ἄλλο δὲ τὸ περὶ θάλατταν, καὶ τούτου τὸ μὲν πολεμικὸν τὸ δὲ . . . . . . . τὸ δ' ἁλιευτικόν, (πολλαχοῦ γὰρ ἕκαστα τούτων πολύοχλα, οἷον ἁλιεῖς μὲν ἐν Τάραντι καὶ Βυζαντίῳ, τριηρικὸν δὲ Ἀθήνησιν, ἐμπορικὸν δὲ ἐν Αἰγίνῃ καὶ Χίῳ, πορθμευτικὸν ἐν Τενέδῳ) . . . »

Αλιεία.

Στρυμών. Εγχέλεις.

Λίμνη Μεγ. Τζεμκεσλε.

Κεφ. ς. . . . Των δ' εγχελύων τρέφονται ολίγαι μεν τινες Αριστοτ.
και ενιαχού και τη ιλύϊ και σιτίοις, άν τις παραβάλλη· αι Ζώων Ιστορ.
μεν τοι πλείσται τω ποτίμω ύδατι, ο τούτο τηρούσιν οι εγχε- Η.
λυοτρόφοι, όπως ό,τι μάλιστα καθαρόν ή, απορρέον αεί και
επιρρέον επί πλαταμώνων, ή κονιώνται τα εγχελυοτροφεία· απο-
πνίγονται γαρ ταχύ, εάν μη καθαρόν η το ύδωρ. Και
εν τω Στρυμόνι δε ποταμώ περί τας Πλειάδας αλίσκονται· τό-
τε γαρ αναθολούται το ύδωρ και ο πηλός υπό πνευμάτων γι-
νομένων εναντίων· εί δε μη, συμφέρει ησυχίαν έχειν.

Σημ. Απ.Σ. Και εν τη λίμνη Μεγ. Τζεμκεσλε εκτός των
άλλων ιχθύων τους οποίους εκεί αλιεύουσιν υπάρχουσι
και αρκετοί εγχέλεις τους οποίους προ του πολέμου (1914)
Γερμανοί αγοράζοντες επί τόπου η αγρεύοντες οι ίδι-
οι (δεν γνωρίζω ακριβώς) μετέφερον ζώντας, εντός δοχεί-
ων επί τούτω κατεσκευασμένων, εις την Γερμανίαν.

# Ἁλιεία.

## Βυζάντιον. Ἐχῖνοι.

«Περὶ δὲ τῆς τῶν ἐχίνων αἰσθήσεως συμβέβηκε πολλαχοῦ Ἀριστ. Ζώων Ι.
τεθεωρῆσθαι ὅτι μεταβαλλόντων βορείων καὶ νοτίων, οἱ μὲν ἐν Θ. 5. σ. 17.
τῇ γῇ τὰς ὀπὰς αὐτῶν μεταβάλλουσιν, οἱ δ' ἐν ταῖς οἰκίαις ἐκδ. Didot.
τρεφόμενοι μεταβάλλουσι πρὸς τοὺς τοίχους, ὥστ' ἐν Βυζαν-
τίῳ γέ τινά φασι προλέγοντα λαβεῖν δόξαν ἐκ τοῦ
κατανενοηκέναι ποιοῦντας ταῦτα τὸν ἐχῖνον.»

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ἁλιεία.

Πηλαμύδες. Θύννοι. Αὐξίδες. Βυζάντιοι



Κεφ. XVII. α. .. Διαρρήγνυνται δὲ καὶ οἱ θύννοι ὑπὸ τῆς πιμελῆς. ζῶσι δ' ἔτη δύο· σημεῖον δὲ τούτου ποιοῦνται οἱ ἁλιεῖς· ἐκλιπουσῶν γάρ ποτε τῶν θυννίδων ἐνιαυτόν, τῷ ἐχομένῳ ἔτει καὶ οἱ θύννοι ἐξέλιπον. δοκοῦσι δ' ἐνιαυτῷ εἶναι πρεσβύτεροι τῶν πηλαμύδων. Ὀχεύονται δ' οἱ θύννοι καὶ οἱ σκόμβροι περὶ τὸν ἐλαφηβολιῶνα φθίνοντα. τίκτουσι δὲ περὶ τὸν ἑκατομβαιῶνα ἀρχόμενον· τίκτουσι δ' οἷον ἐν θυλάκῳ τὰ ᾠά. Ἡ δ' αὔξησις ἐπὶ τῶν θυννίδων ταχεῖα· ὅταν γὰρ τέκωσιν οἱ ἰχθύες ἐν τῷ Πόντῳ, γίνονται ἐκ τοῦ ᾠοῦ ἃς καλοῦσιν οἱ μὲν σκορδύλας Βυζάντιοι δ' αὐξίδας διὰ τὸ ἐν ὀλίγαις αὐξάνεσθαι ἡμέραις, καὶ ἐξέρχονται μὲν τοῦ φθινοπώρου ἅμα ταῖς θυννίσιν, εἰσπλέουσι δὲ τοῦ ἔαρος, ἤδη οὖσαι πηλαμύδες. Σχεδὸν δὲ καὶ οἱ ἄλλοι πάντες ἰχθύες ταχεῖαν λαμβάνουσι τὴν αὔξησιν, πάντες δ' ἐν τῷ Πόντῳ θᾶττον. παρ' ἡμέραν γὰρ καὶ αἱ ἀμίαι πολὺ ἐπιδήλως αὐξάνονται. ..

Αριστοτ. Ζώων ιστ. ζ΄.

# Βυζάντιοι. Ἁλιεῖς.

„Εἴδη γὰρ πλείω δὲ τε δήμου καὶ τῶν λεγομένων γνωρίμων (1) ἐστιν. οἷον δήμου μὲν εἴδη ἓν μὲν οἱ γεωργοί ἕτεροι δὲ περὶ τὰς τέχνας . . . . . . οἷον ἁλιεῖς μὲν ἐν Τάραντι καὶ Βυζαντίῳ, τριηρικὸν δ' Ἀθήνησιν ἐμπορικὸν δ' ἐν Αἰγίνῃ καὶ Χίῳ. "

Ἀριστ. Πολιτικῶν Βιβ. Δ'. Κεφ. γ'. σ. 115

(1) γνώριμοι οἱ ἔχοντες γνῶσιν

# Αλιεία.

Ἀμίαι· θύννοι· Κολιοί (;) Κωλίαι· Πηλαμύδες Σκόμβροι.
Βιστωνὶς λίμνη. Πόντος. Προποντὶς Βυζαντίου.
Αλωπεκόννησος.

«Γίνονται δε και εν ταις λιμνοθαλάτταις πολλοί των ιχθύ- Αριστοτ.
ων, οίον σάλπαι, χρύσοφρυς, τρίγλη και των άλλων σχεδόν οι Ζώων ισ.
πλεῖστοι· γίνονται δε και άμιαι οίον περί Αλωπεκόννη- Η. ιγ'.
σον· και εν τη Βιστωνίδι λίμνη ένεστι τα πλείστα γένη των
ιχθύων. Των δε κολιών οι πολλοί εις μεν τον Πόντον ουκ
εμβάλλουσιν εν δε τη Προποντίδι θερίζουσι και εκτίκτουσι.
χειμάζουσι δ' εν τω Αιγαίω· θυννίδες δε και πηλαμύδες και
άμιαι εις τον Πόντον εμβάλλουσι του έαρος και θερίζουσιν·
σχεδόν δε και οι πλείστοι των ρυάδων και αγελαίων ι-
χθύων· εισί δ' οι πλείστοι αγελαίοι. Έχουσι δ' οι αγελαίοι ηγεμόνας
πάντες. Εισπλέουσι δ' εις τον Πόντον διά τε την τροφήν (η
γαρ νομή και πλείων και βελτίων διά το πότιμον) και τα
θηρία δε τα μεγάλα ελάττω· έξω γαρ δελφίνος και φωκαί-
νης ουδέν εστιν εν τω Πόντω, και ο δελφίς μικρός· έξω δ' ευ-
θύς προελθόντι μεγάλοι. Διά τε δη την τροφήν εισπλέουσι.
και διά τον τόκον· τόποι γαρ εισιν επιτήδειοι εκτίκτειν,
και το πότιμον και το γλυκύτερον ύδωρ εκτρέφει τα
κυήματα· όταν δε τέκωσι και τα γενόμενα αυξηθή,
εκπλέουσιν ευθύς μετά ~~την~~ Πλειάδα. Αν μεν ουν νό-
τιος ο χειμών ή, βραδύτερον εκπλέουσιν· αν δε βόρειος,
θάττον διά το πνεύμα συνεξουρίζουσιν· και ο γόνος δε τό-

# Αλιεία.

## Τριχίαι

δε μικραι αλίσκονται περι Βυζάντιον, διὰ τ γενομένης στάσεως.
εν τω Πόντω διατριβης. οι μεν ουν άλλοι κ εισπλέοντες κ εκ-
πλέοντες άλισκονται, οι δε τριχίαι μόναι εισπλέουσαι μεν αλί-
σκονται, εκπλέουσαι δ ουχ ορώνται, αλλα κ όταν ληφθή τις
περι Βυζάντιον, οι αλιεις τα δίκτυα περικαθαίρουσι δια
το μη ειωθέναι εκπλειν. Αίτιον δ ότι αυται μόναι αναπλέουσιν
εις τον Ίστρον, είτ' ή σχίζεται, καταπλέουσιν εις τον Αδρίαν. Ση-
μείον δε· και γαρ συμβαίνει τουναντίον· εισπλέουσαι μεν γαρ
ουχ αλίσκονται εις τον Αδρίαν, εκπλέουσαι δ αλίσκονται. Εισπλέ-
ουσι δ οι θύννοι, επι δεξιά έχοντες της γης, εκπλέουσι δ εξ αριστε-
ρας· τουτο δέ φασί τινες ποιείν ότι τω δεξιω οξύτερον ορώσι, φύσει
ουκ οξυ βλέποντες. Την μεν ουν ημέραν οι ρυάδες κομίζονται,
την δε νύκτα ησυχάζουσι κ νέμονται, εαν μη σελήνη ή· τό-
τε δε κομίζονται κ ουχ ησυχάζουσιν. Λέγουσι δέ τινες των περι την
θάλατταν ως, όταν τροπαι χειμεριναι γίνωνται, ουκέτι κινούν-
ται, αλλ' ησυχάζουσιν, όπου αν τύχωσι καταληφθέντες μέχρι ισημε-
ρίας. Οι μεν ουν κολίαι εισπλέοντες αλίσκονται, εκπλέοντες δ ήττον.
άριστοι δ εισιν εν τη Προποντίδι προ του τίκτειν· οι δ άλλοι ρυάδες
εκπλέοντες εκ του Πόντου αλίσκονται μάλλον κ άριστοι τότε εισιν· όταν δε
εισπλέωσιν εγγύτατα του Αιγαίου πιότατοι αλίσκονται· όσω δ ανωτέρω αει
λεπτότεροι. Πολλάκις δε κ όταν αντικόψη νότος εκπλέουσι τους
κολίας κ τους σκόμβρους, κάτω αλίσκονται μάλλον η περι Βυζάντιον."

# Αλιεία.

## Βόσπορος.



Κεφ. ΙΘ΄. 4. « Του δε θέρους τους ιχθυς φεύγειν δοκ. συμφέρον είναι το επι τοις άκροις γίνεσθαι τας αλώσεις, και μάλιστα επι κυνί· τηνικαύτα γαρ αναθέρεσθαι την θάλατταν, ώσπερ εν τω Βοσπόρω γνωριμώτατόν εστιν· η γαρ ιλυς επάνω γίνεται η επιφέρονται οι ιχθύες. Φασι δε η πολλάκις τριβομένου του βυθού αλίσκεσθαι πλείους εν τω αυτού βόλω το δεύτερον ή το πρώτον. » — Αριστοτ. Ζώων ΙΣ. Η΄.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ἀλιεία. ὀστρακόδερμα

# Ἑλλήσποντος. Ἀστακοί.



Κεφ. XVII. α . . . Τῶν δὲ κυφῶν καρίδων ἡ κύησις ἐστὶ περὶ τέτταρας μῆνας. Γίνονται δ' οἱ μὲν κάραβοι ἐν τοῖς τραχέσι, οἱ δ' ἀστακοὶ ἐν τοῖς λείοις· ἐν δὲ τοῖς πηλώδεσιν οὐδέτεροι. διὸ καὶ ἐν Ἑλλησπόντῳ μὲν καὶ περὶ Θάσον ἀστακοὶ γίνονται, περὶ δὲ τὸ Σίγειον καὶ τὸν Ἄθων κάραβοι. διασημαίνονται δὲ τοῖς τόποις οἱ ἁλιεῖς τά τε τραχέα καὶ τὰ πηλώδεις ταῖς τ' αὐταῖς καὶ τοῖς ἄλλοις τοῖς τοιούτοις σημείοις ὅταν βάλωνται ἐν τῷ πελάγει ποιοῦνται τὴν θήραν."

Ἀριστοτ. Ζώων ιστ. Ε΄.